Ζηνὸς ἐπ' ἀκ|ροτάτῳ βω-
μῷ τότ' αὖ χρηστήριον θέσθαι κέλευσεν.
—
ἐξ οὗ πολύκ|λειτον καθ' Ἕλ-
λανας γένος Ἰαμιδᾶν·
ὄλβος ἅμ' ἕσπετο· τιμῶντες δ' ἀρετάς
ἐς φανερὰν ὁδὸν ἔρχονται· τεκμαίρει
χρῆμ' ἕκαστον· μῶμος ἐξ ἄλ-
λων κρέμαται φθονεόντων
τοῖς, οἷς ποτε π|ρώτοις περὶ δωδέκατον δρόμον
ἐλαυνόντεσσιν αἰδοία ποτιστά-
ξῃ Χάρις εὐκλέα μορφάν.
εἰ δ' ἐτύμως ὑπὸ Κυλλά-
νας ὄρος, Ἁγησία, μάτρωες ἄνδρες
—
ναιετάοντες ἐδώρη-
σαν θεῶν κάρυκα λιταῖς θυσίαις
πολλὰ δὴ πολλαῖσιν Ἑρμᾶν εὐσεβέως,
ὃς ἀγῶνας ἔχει μοῖράν τ' ἀέθλων,
Ἀρκαδίαν τ' εὐάνορα τιμᾷ·
κεῖνος, ὦ παῖ Σωστράτου,
σὺν βαρυγδούπῳ πατρὶ κ|ραίνει σέθεν εὐτυχίαν.
δόξαν ἔχω τιν' ἐπὶ γ|λώσσᾳ λιγυρᾶς ἀκόνας,
ἅ μ' ἐθέλοντα προσέρπει καλλιρόαισι πνοαῖς.
ματρομάτωρ ἐμὰ Στυμ-
φαλίς, εὐανθὴς Μετώπα,
)—
Ε' πλάξιππον ἃ Θήβαν ἔτι-
κτεν, τᾶς ἐρατεινὸν ὕδωρ
πίομαι, ἀνδράσιν αἰχματαῖσι πλέκων
ποικίλον ὕμνον. ὄτρυνον νῦν ἑταίρους,